INDICES
LECTIONUM

ET

PUBLICARUM ET PRIVATARUM

QUAE IN

ACADEMIA MARBURGENSI

PER

SEMESTRE HIBERNUM

INDE A D. XV. M. OCTOBRIS MDCCCLXXII USQUE AD D. XXIX. M. MARTII MDCCCLXXIII

HABENDAE PROPONUNTUR.

Praemissi sunt Indices constitutionum Codicis Iustiniani ex libris Nomocanonis XIV titulorum collecti a *Paulo Krueger*.

MARBURGI.
TYPIS ACADEMICIS N. G. ELWERTI.

ACADEMIAE MARBURGENSIS
RECTOR CUM SENATU
COMMILITONIBUS DILECTISSIMIS
S. P. D.

Postquam viro eminentissimo Pitrae contigit, ut ex libro Monacensi Graeco 122, qui continet Nomocanonem XIV titulorum a Theodoro Besta anno 1090 p. Chr. in novam formam redactum, constitutiones codicis Iustiniani complures neque non indices constitutionum plerumque Latinarum Graece confectos a iuris consultis Iustiniano aut coaevis aut paullo inferioribus in lucem protraheret [1], omnes quos adire potui Nomocanonis libros perlustravi neque tamen plures quam duo eiusdem recensionis repperi, Dubliniensem collegii s. trinitatis 494, quem Pitra ipse indicaverat, et Ambrosianum L. 49 sup. Utroque igitur libro collato non solum ad Graecas constitutiones futurae codicis editioni inserendas, sed etiam ad indices, qui vel in Monacensi primum vel demum in his libris comparent, ne huius operae fructus in schedis depereant, indices ad codicis ordinem digestos proponam.

De libris quos adhibui haec praemonenda sunt.

Monacensis (nobis M) saeculi XII in fine mutilus est superiore foliorum parte plus minusve a muribus exesa. Hunc librum post Pitram rursus contuli Berolini anno 1870.

In libro Dubliniensi (nobis D), qui et ipse saeculo XII exaratus est, perierunt tam initium Nomocanonis usque ad 1, 26 quam finis inde a 13, 2 et nonnulla folia in medio libro. Librum habui Berolini eodem anno.

Ambrosiani codicis (nobis A), quo diversorum librorum fragmenta comprehenduntur, folia 148—184 avulsa sunt ex libro Nomocanonis XII saeculo scripto, cuius effecerunt quaterniones quattuor integros et tria foliorum paria diversorum quaternionum. Quae supersunt, pertinent ad Nomocanonem 9, 14—11, 9. excussi librum Mediolani eodem anno.

---

1) Iuris ecclesiastici Graecorum historia et monumenta iussu Pii IX pont. max. curante I. B. Pitra S. R. E. Card. Romae. Vol. II p. 433 sqq., cf. Zeitschrift für Rechtsgeschichte IX p. 185 sqq.

Accedit liber Vaticanus 828 (nobis V) saeculi XIV, qui partim additamenta Theodori Bestae profert partim propria. Varias lectiones Pitra enotavit, ut tamen dubitem, num plene contulerit eos indices quos ex Monacensi descripserat: quamobrem ubi ex silentio Pitrae conicitur Vaticano convenire cum Monacensi, usus sum nota (V).

Denique addidi pauca ea, quae ex libro Vaticano 1981 saeculi XI Pitra protulit.

Ubi probabilem coniecturam de indicis auctore capere licuit, eum post locum codicis Iustiniani nominavimus [1]. In quibus libris unusquisque index extet, notis librorum post Nomocanonis locum additis demonstratur. Si librorum primitiva scriptura emendata est, haec ipsa in adnotationibus indicatur litterula [a] ad libri notam adposita, emendationis nota est [b].

Cod. 1, 1, 2 (Thalelaei?) = Nomoc. 1, 1 p. 637 (V).

Μηδεὶς τόπος τοῖς αἱρετικοῖς ἀνεῴχθω, ἀλλὰ κἂν τι ἀντίγραφον πορίσωνται, ἀνίσχυρον ἔστω. κωλυέσθωσαν καὶ τῶν αἱρετικῶν αἱ συνελεύσεις. κρατείτω δὲ ἡ ἐν Νικαίᾳ πίστις ἡ εἰς πατέρα καὶ υἱὸν καὶ [2] πνεῦμα ἅγιον ὁμολογία [3]· οὐ γὰρ ἐντὸς τῶν τειχῶν αἱρετικὸν [4] εἶναι βουλόμεθα, ἀλλὰ τοῖς ὀρθοδόξοις πάσας τὰς τοῦ κόσμου ἐκκλησίας ἀποδίδομεν [5].

Cod. 1, 1, 3 (Thalelaei?) = Nomoc. 12, 3 p. 605 (MDV).

Ὅτι δεῖ τὰ Πορφυρίου καὶ τῶν ὁμοίων αὐτοῦ συγγράμματα πυρὶ καίεσθαι, τοὺς δὲ ἀκολουθοῦντας τῇ Νεστορίου διδασκαλίᾳ, εἰ μὲν ἐπίσκοποι ἢ κληρικοὶ εἶεν, τῶν ἐκκλησιῶν ἐκβάλλεσθαι, εἰ δὲ λαϊκοί, ἀναθεματίζεσθαι αὐτούς, πάσης ἐξουσίας οὔσης κατηγορεῖν αὐτῶν. εἴ τινα δὲ βιβλία συνέγραψάν τινες οὐχ ἑπόμενοι ταῖς ἐν Νικαίᾳ καὶ ἐν Ἐφέσῳ συνόδοις οὐδὲ Κυρίλλῳ τῷ Ἀλεξανδρείας ἐπισκόπῳ, καίεσθαι ταῦτα κελεύομεν, ἐξαιρέτως τὰ Νεστορίου, τὴν ἐσχάτην τιμωρίαν ὑφορωμένους.

Cod. 1, 2, 6 (Thalelaei *κατὰ πόδας* [6]) = Nomoc. 1, 5 p. 462 (M) et Nomoc. 9, 1 p. 533 (M).

Πάσης καινοτομίας ὑποχωρούσης τοὺς παλαιοὺς καὶ ἀρχαίους ἐκκλησιαστικοὺς κανόνας, οἵτινες μέχρι τοῦ νῦν ἐκράτησαν, καὶ κατὰ πᾶσαν τοῦ Ἰλλυρικοῦ ἐπαρχίαν φυλάττεσθαι κελεύομεν, ὡς ἐάν τις ἀμφισβήτησις ἀναφυῇ, ταύτην χρὴ μὴ ἄνευ εἰδήσεως τοῦ σεβασμιωτάτου ἀνδρὸς καὶ ἀρχιερέως [7] Κωνσταντινουπόλεως, ὅστις τῆς πρεσβυτέρας Ῥώμης τῷ προνομίῳ εὐφραίνεται, τῇ ἱερατικῇ συνόδῳ καὶ ἁγίᾳ κρίσει καὶ θείῳ νόμῳ διακρίνεσθαι.

Cod. 1, 2, 12 pr. § 1 (Thalelaei *κατὰ πόδας*) = Nomoc. 1, 2. p. 460 (M).

Τὰ προνόμια [8], ἃ ταῖς γενικαῖς διατάξεσιν ἁπάσαις ταῖς ἁγίαις ἐκκλησίαις τῆς ὀρθοδόξου πίστεως οἱ πάλαι βασιλεῖς συνεστήσαντο, βέβαια καὶ ἀμείωτα εἰς τὸ διηνεκὲς

---

1) Cf. Zeitschrift für Rechtsgeschichte IX p. 189. — 2) *υἱὸν καί* om. V, suppl. Zachariae. — 3) *ὁμολογίαν* V. — 4) *αἱρετικός* V. — 5) *ἀποδεδόμενοι* V. — 6) *ταύτης δὲ τῆς διατάξεως τὸ μὲν πλάτος* Nomoc. 9, 1. — 7) *ἀρχιεπισκόπου* M ad 9, 1. — 8) *προοιμια* M[a].

θεσπίζομεν φυλάττεσθαι· ἅπαντας δηλαδή τοὺς πραγματικοὺς τύπους τοὺς κατὰ τῶν ἐκκλησιαστικῶν κανόνων κατὰ χάριν ἐφευρεθέντας καὶ δι' ἀλαζονίαν ἐξελεγχθέντας[1] *τῇ ἰδίᾳ δυναστείᾳ καὶ βεβαιώσει κενοὺς*[1a] *φανέντας ἀργεῖν κελεύομεν.*

Cod. 1, 2, 12 = Nomoc. 1, 2 p. 638 (V).

Οἱ τοῖς κανόσιν ἐναντιούμενοι πραγματικοὶ τύποι ἄκυροί εἰσιν.

Cod. 1, 2, 16 pr. (Thalelaei *κατὰ πόδας*) = Nomoc. 1, 5 p. 463 (M).

Πάντων ἀναιρουμένων καὶ ἀσθενούντων ἐκ θεμελίων, ἅτινα κατὰ τοῦ τῆς ὀρθοδόξου πίστεως θεοῦ κατά τινα τρόπον ἐγένοντο, εἰς ἀκέραιον ἀνακαλείσθωσαν ἅπαντα καὶ πρὸς τὴν ἰδίαν ἀνατρεχέτωσαν τάξιν, ὅσα πρὸ τῆς ἡμετέρας ἐκδημίας[2] *περὶ πίστεως τῆς ὀρθοδόξου θρησκείας καὶ περὶ καταστάσεως τῶν ἁγίων ἐκκλησιῶν καὶ μαρτυρίων ἰσχυρῶς ἐκράτουν· ἐκείνων ἅτινα ὑπεναντίον αὐτῶν ἐν τῷ τῆς τυραννίδος καιρῷ ἐκαινίσθησαν (τουτέστιν ἐν τῇ βασιλείᾳ Βασιλίσκου) καὶ κατὰ τῶν προσκυνητῶν ἐκκλησιῶν, ὧν τὴν ἀρχιερωσύνην χειρίζει ὁ μακαριώτατος καὶ ὁσιώτατος ἐπίσκοπος ὁ τῆς ἡμετέρας ἡμερότητος πατὴρ Ἀκάκιος, καὶ κατὰ τῶν ἐν διαφόροις ἐπαρχίαις ἱδρυμένων, οὐ μὴν ἀλλὰ καὶ κατὰ τῶν εὐλαβεστάτων αὐτῶν ἐπισκόπων, εἴτε περὶ τοῦ δικαίου τῆς τῶν ἱερέων χειροτονίας, εἴτε περὶ ἐκβολῆς τινος ἐπισκόπου ὑπὸ οἱουδήποτε γενομένης ἐν ἐκείνῳ τῷ χρόνῳ, εἴτε περὶ τοῦ προνομίου τοῦ προκαθέζεσθαι ἐν συνόδῳ ἢ καὶ χωρὶς συνόδου ἀντ' ἄλλου ἄλλον, ἢ περὶ τοῦ μητροπολιτικοῦ ἢ πατριαρχικοῦ δικαίου ἐν αὐτοῖς τοῖς ἀσεβέσι χρόνοις, παντελῶς ἀναιρεθέντων*[3]*, ἵνα συντριβέντων καὶ ἀνασχισθέντων τῶν διὰ τῆς τοιαύτης μυσαρᾶς κελεύσεως ἢ πραγματικοῦ τύπου*[4] *ἢ ἀσεβοῦς διατάγματος παρακολουθησάντων τὰ ἀπὸ τῶν τῆς θείας λήξεως ἀνωτέρων βασιλέων τῶν πρὸ τῆς βασιλείας τῆς ἡμετέρας ἡμερότητος φιλοτιμηθέντα ἢ νομοθετηθέντα ὑπὲρ ἁγιωτάτων ἐκκλησιῶν καὶ μαρτυρίων καὶ ὁσίων ἐπισκόπων καὶ κληρικῶν καὶ μοναχῶν ἄτρωτα φυλαχθείησαν.*

Cod. 1, 2, 21 (Thalelaei *κατὰ πόδας*[5]) = Nomoc. 2, 2 p. 498 (MD).

Θεσπίζομεν μηδενὶ ἐξεῖναι τὰ ἱερώτατα καὶ μυστικὰ σκεύη ἢ ἐσθῆτα καὶ τὰ λοιπὰ ἀναθήματα τὰ πρὸς τὴν θείαν λειτουργίαν ἀναγκαῖα (ἡνίκα καὶ οἱ πάλαι νόμοι αὐτὰ ἅπερ θείου δικαίου εἰσὶν ἀνθρωπίναις περιπλοκαῖς μὴ δημεύεσθαι ἐθέσπισαν) ἢ εἰς πρᾶσιν ἢ εἰς ὑποθήκην ἢ εἰς ἐνέχυρον ἕλκειν, ἀλλ' ἐκ τούτων, οἵτινες[6] *αὐτὰ ἐτόλμησαν ὑποδέξασθαι, τρόποις ἅπασιν ἐκδικεῖσθαι διὰ τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ οἰκονόμων, ἔτι δὲ καὶ τῶν θείων σκευοφυλάκων, μηδεμίαν*[5a] *αὐτοῖς ἀγωγὴν καταλιμπάνειν ἢ ἐπὶ τὸ λαβεῖν τίμημα ἢ ἐπὶ τὸ δάνειον εἰσπράττειν, δι' οὗ τὰ πράγματα ἠνεχυράσθησαν*[7]*, ἀλλὰ πάσας τὰς τοιαύτας πράξεις ἀποπτύοντες πρὸς ἀποκατάστασιν αὐτῶν τρόποις ἅπασιν ἐκδικείσθωσαν. εἰ δὲ ἐχωνεύθησαν ἢ ἄλλῳ τρόπῳ ἐνηλλάγησαν*[8] *ἢ διεσκορπίσθησαν, οὐδὲν ἧττον ἢ πρὸς αὐτὰ τὰ εἴδη ἢ πρὸς τὰ τιμήματα αὐτῶν εἰσπράττεσθαι εἴτε διὰ ἲν ῥὲμ εἴτε κονδικτικίου εἴτε διὰ ἰμφάκτουμ*[9] *ἀγωγῆς, ἧστινος ἡ ἰσχὺς ἐν πολλαῖς καὶ διαφόροις δικαίαις κωλύσεσι*[10] *πολλάκις ἐξεφωνήθη, ἐκτὸς δηλονότι αἰτίας τῶν αἰχμαλώτων ἐν*[11] *τοῖς τόποις, ἐν οἷς τοῦτ' ὃ ἀπευχόμεθα συμβῇ· εἰ γὰρ ἀνάγκη γένηται*

---

1) *ἐξελ∘(ε?)εγχθέντας* Ma, *ἐξενεχθέντας* Zachariae. — 1a) *καινούς* MD. — 2) *ἐνδημιας* M. — 3) *ἀναιρεθό∘των* Ma. — 4) *τόπου* Ma. — 5) *ἔχει δὲ κατὰ λέξιν οὕτω* Nomoc. — 5a) *δέ* ins. — 6) *εἴ τινες* M. — 7) *ἐνεχυράθησαν* M. — 8) *ἠλλάγησαν* M. — 9) *ἐμφάκτου* M. — 10) *δικαίου σκέλεσι* Zachariae. — 11) *εἰ* MD.

εἰς ἀπολύτρωσιν αἰχμαλώτων, τηνικαῦτα καὶ πρᾶσιν τῶν προειρημένων θείων πραγμάτων καὶ ὑποθήκας καὶ ἐνεχυράσεις[1] γενέσθαι συγχωροῦμεν, ἡνίκα οὐκ ἀπεικός ἐστι τὰς ψυχὰς τῶν ἀνθρώπων οἱοισδήποτε πράγμασιν ἢ ἐσθῆσιν ἐκλυτροῦσθαι. τοῦτο κατέχοντες[2] οὐ μόνον ἐν ταῖς μελλούσαις διοικήσεσιν, ἀλλὰ καὶ ἐν ταῖς ἀναρτήσεσι τοῦ δικαστηρίου.

Cod. 1, 3, 5 (Thalelaei?) = Nomoc. 9, 29 p. 565 (MA).

Εἴ τις οὐ λέγω ἁρπάσαι, ἀλλὰ πειρᾶσαι γαμικῆς ἑνώσεως αἰτίᾳ τὰς εὐλαβεστάτας παρθένους τολμήσοι, κεφαλικῇ ποινῇ ὑποβληθήσεται.

Cod. 1, 3, 9 (Thalelaei?) = Nomoc. 1, 28 p. 477 (MD).

Μηδεμία, εἰ μὴ μετρεῖται ἑξήκοντα ἐνιαυτῶν κατὰ τὴν διάταξιν τοῦ ἀποστόλου, πρὸς τὴν τῶν διακονισσῶν ὑπηρεσίαν προφερέσθω.

Cod. 1, 3, 11 (Thalelaei?) = Nomoc. 1, 30 p. 478 (MD) et 1, 34 p. 480 (M).

Ταῖς ἐπιχωρίοις ἐκκλησίαις μὴ χειροτονείσθωσαν κληρικοί, εἰ μὴ ἐξ αὐτῆς τῆς κώμης, καθ᾽ ἣν ἡ ἐκκλησία διάκειται, ἵνα καὶ τὰ κατ᾽ ἔτος ἐπικεφάλαια συντελέσωσι[3]. καὶ ἐξ αὐτῶν δὲ τῶν[4] κωμῶν μὴ ἀμέτρως χειροτονείσθωσαν, ἀλλὰ πρὸς τὴν δύναμιν καὶ πολυπλήθειαν τῆς κώμης, κρίσει καὶ[4a] τοῦ ἐπισκόπου, χειροτονείσθωσαν[5].

Cod. 1, 3, 12 (Thalelaei?) = Nomoc. 1, 6 p. 464 (M) et 1, 23 p. 474 (M).

Εἴ τις βουλευτὴς κληρικὸς γένηται, μὴ παραχρῆμα ὑπομνήσεως πεμφθείσης τῇ προτέρᾳ τύχῃ ἀποδοθῆναι[5a], ἰσχύϊ καὶ σπουδῇ τῶν ἀρχόντων εἰς τὸ πρότερον σύστημα ὡς χειρὸς ἐπιβληθείσης ἀνακαλείσθω. τοὺς κληρικοὺς γὰρ περαιτέρω[6] τοῦ νόμου ὀφείλεσθαι[6a] οὐκ ἀνεχόμεθα, ὅστις παραχωρήσει τῆς οὐσίας ὑποχωροῦντας βουλευτὰς κληρικοὺς εἶναι οὐκ ἐκώλυσεν.

Co. 1, 3, 13 (Thalelaei?) = Nomoc. 1, 2 p. 460. 638 (MV).

Εἴ τις τὰ τῆς ἁγίας[7] ἐκκλησίας προνόμια ἢ αὐτὸς παρατρώσει ἤ τινος παρατιτρώσκοντος παριδεῖν προσποιήσεται[8], ε΄ χρυσίου λιτρῶν προστίμῳ σωφρονιζέσθω.

Cod. 1, 3, 15 (Thalelaei?) = Nomoc. 3, 14 p. 506 (MD).

Ἀθέμιτος ἔστω πᾶσα σύνοδος ἔξω τῆς ἁγίας ἐκκλησίας ἐν ἰδιωτικῷ οἴκῳ γινομένη. δημευέσθω δὲ καὶ ὁ οἶκος ἐν ᾧ συνέρχονται, εἰ ὁ δεσπότης συγχωρήσει τοῖς κληρικοῖς ἐν αὐτῷ τὰς κενὰς καὶ θορυβώδεις ποιεῖσθαι συνόδους.

Cod. 1, 3, 16 (Thalelaei?) = Nomoc. 1, 34 p. 480 (MD).

Εἴ τις ἐν τοῖς γεωργοῖς τοῖς ἐναπογράφοις σεσημείωται, παρὰ γνώμην τοῦ δεσπότου τοῦ ἀγροῦ[9] ἁπάσης ἀπεχέσθω κληρώσεως, ὥστε καὶ ἐὰν ἐν αὐτῇ τῇ κώμῃ, ἐν ᾗ γνωρίζεται κατοικεῖν, κληρικὸς γένηται, ὑπὸ τοῦδε τοῦ νόμου τὴν εὐλαβῆ προσλαβέτω χειροτονίαν, ἵνα καὶ τὸ τῆς κεφαλιτίωνος βάρος διὰ τοῦ δεσπότου αὐτοῦ ἐπιγινώσκηται καὶ ταῖς βουλευτικαῖς ὑπηρεσίαις δι᾽ οὗ βούλεται ὑποκαταστάτου λειτουργῇ[10], αὐτῆς δηλονότι τῆς ἀτελείας συγχωρουμένης, ἥτις τῆς ὁριστικῆς κεφαλιτίωνος ταῖς ἁγίαις ἐκκλησίαις συγκεχώρηται μηδεμιᾶς κατὰ τοῦδε τοῦ νόμου ἰσχυούσης ἀντιγραφῆς.

---

1) sic Zachariae, ἐνεχύρασι M, de D non constat. — 2) scrib. τούτου κατέχοντος. — 3) κατ᾽ ἔτος ἐπικεφάλαια συντελέσωσι M utroque loco, κατ᾽ αὐτῶν συντελῶσι D. — 4) καὶ ἐξ αὐτῶν δὲ τῶν] τῶν δέ M ad 1, 30. — 4a) καί del. — 5) χειροτονείσθω M ad 1, 34. — 5a) expectes καὶ μὴ ... ἀποδοθῇ. — 6) περαιτέρου M ad 1, 6. — 6a) τῷ νόμῳ ὠφελεῖσθαι Zachariae. — 7) ἁγίας om. V. — 8) παραπροσποιήσεται (om. ιδεῖν) M. — 9) γνώμην δεσπότου ἄγρου D. — 10) λειτουργῆν Da, λειτουργεῖν Db.

Cod. 1, 3, 17 (Thalelaei?) = Nomoc. 8, 13 (D).

Ἵνα μηδὲν κοινὸν ἔχωσιν οἱ κληρικοὶ πρὸς τὰς δημοσίας πράξεις ἤτοι διοικήσεις ἢ πρὸς τὰς ἀνηκούσας τοῖς βουλευτηρίοις, εἰ μὴ ἄρα βουλευταί[1] εἰσι τύχης.

Cod. 1, 3, 19 (Thalelaei?) = Nomoc. 8, 14 (D).

Τοὺς τὴν ἐπαινετὴν ἐπιστήμην μεταδιώκοντας, τουτέστι τοὺς κληρικούς, οὐ δεῖ χραίνεσθαι τῷ τῆς ἀδελφικῆς προσηγορίας συνοικεσίᾳ. οἱοσδήποτε τοιγαροῦν ἢ οἱουδήποτε βαθμοῦ κληρικὸς ἀπηγορευμένον ἑαυτῷ γινωσκέτω τὸν γάμον καὶ πάσης γυναικὸς συνοικέσιον καὶ μόνῃ συνοικείτω μητρὶ ἢ θυγατρὶ ἢ ἀδελφῇ ὁμοπατρίῳ· ἐν ταύταις γὰρ οὐδεμίαν ὑπόνοιαν συγχωρεῖ προσελθεῖν ἡ πίστις τῆς φύσεως. εἰ δὲ καὶ γαμετὰς πρὸ τῆς χειροτονίας εἶχον, μὴ καταλιμπανέτωσαν αὐτάς, ὧν τὸ συνοικέσιον ἀξίους τῆς ἱερωσύνης ἀπέδειξεν.

Cod. 1, 3, 23 (Thalelaei?) = Nomoc. 9, 9 p. 546 (MD) et 9, 10 p. 547 (MD).

Ἐπειδὴ ὁ ἀοίδιμος Φλαβιανὸς ταύτης τῆς λαμπρᾶς πόλεως ἐπίσκοπος μετὰ τῆς σεβασμιωτάτης συνόδου τὸν ἀριθμὸν σχεδὸν τῶν ἱερέων τῶν ἐν Χαλκηδόνι συνελθόντων ἐχούσης τοσαύτῃ καὶ τηλικαύτῃ κεκόσμηται μαρτυρίᾳ, ὡς Εὐτυχὴς ὁ συναινέσας μετὰ τῶν μυσαρωτάτων δογμάτων αὐτοῦ παρὰ[2] πάντων ἑνὶ στόματι κατεδικάσθη, καταργηθήτω μὲν Εὐτυχὴς τῇ καταδικαστικῇ μνήμῃ, Φλαβιανὸς δὲ ὁ ἐπαινετὸς ἀναφερέσθω.

Cod. 1, 3, 24 (Thalelaei?) = Nomoc. 2, 1 (D).

Τὸ τοῖς πτωχοῖς καταλιμπανόμενον μὴ λογιζέσθω ἄδηλον.

Cod. 1, 3, 25 (Thalelaei?) = Nomoc. 9, 1 p. 533 (MD).

Τοῖς Κωνσταντινουπόλεως κληρικοῖς δικαζομένοις ἁρμόδιος δικαστὴς ἔστω ὁ ἀρχιεπίσκοπος, ἐὰν[3] ὁ ἐνάγων ἀρέσκηται τούτῳ. εἰ δὲ παραιτεῖται τὴν αὐτοῦ κρίσιν ὁ ἐνάγων τοῖς κληρικοῖς, παρὰ μόνοις τοῖς ἐπάρχοις τῶν πραιτωρίων ἐναγέσθωσαν καὶ οἱ κληρικοὶ τῆς βασιλίδος καὶ ὁ οἰκονόμος, εἴτε ἐκκλησιαστική ἐστιν ἡ δίκη εἴτε ἰδία αὐτῶν, καὶ ἐν μηδενὶ ἄλλῳ φόρῳ παρὰ μηδενὶ ἄλλῳ δικαστῇ ἐναγέσθωσαν μήτε ἐν χρηματικαῖς μήτε ἐν ἐγκληματικαῖς αἰτίαις.

Cod. 1, 3, 28 (Thalelaei[4]) = Nomoc. 2, 1 p. 492 (MD).

Μηδενὶ ἐξεῖναι θεσπίζομεν, ἐὰν ἐν διαθήκῃ κληρονόμος ᾖ ἔνστατος ἤτοι ἐξ ἀδιαθέτου ὑπεισέλθῃ ἤτοι φιδικομισσάριος ἢ λεγατάριος εὑρεθῇ, τὴν διατύπωσιν τοῦ εὐσεβῶς διαθεμένου ἀνατρέπειν ἢ ἀναιδεῖ διανοίᾳ χραίνειν ἐπὶ τῷ[5] δικαιολογεῖσθαι ἄδικον εἶναι τὸ λεγάτον ἢ τὸ φιδικόμισσον, ὅπερ τῇ ἀπολυτρώσει καταλέλειπται τῶν αἰχμαλώτων, ἀλλὰ
§ 1. *τρόποις ἅπασιν εἰσπράττεσθαι ὑπὲρ τῆς αἱρέσεως τοῦ[6] διαθεμένου τοῦ εὐσεβοῦς πράγματος τὴν τάξιν τελειῶσαι. καὶ ἐάν τινα ὁ διαθέμενος σημάνῃ, δι' οὗ βούλεται τὴν ἀπολύτρωσιν γενέσθαι τῶν αἰχμαλώτων, οὗτος ὁ ἰδικῶς σημανθεὶς τὸ λεγάτον ἢ τὸ φιδικόμισσον ἐχέτω ἄδειαν εἰσπράττειν καὶ τῇ αὐτοῦ συνειδήσει τὴν ἐπιθυμίαν ἐκπληρούτω τοῦ διαθεμένου. ἐὰν δὲ πρόσωπον μὴ σημάνῃ ὁ διαθέμενος, ἀλλὰ μόνον ὁρίσῃ τὸ ὀφειλόμενον δοθῆναι ὑπὲρ τῆς μνημονευθείσης αἰτίας, ὁ εὐλαβέστατος ἐπίσκοπος ἐκείνης τῆς πόλεως, ἐξ ἧς ὁ διαθέμενος ὁρμᾶται, ἐχέτω ἄδειαν εἰσπράττειν ὅπερ τοῦδε τοῦ πράγματος χάριν καταλειφθῇ, τὴν εὐσεβῆ τοῦ τελευτήσαντος προαίρεσιν ἄνευ τινὸς δισταγμοῦ, ὡς*

---

1) *βουλευτικῆς* proponit Zachariae. — 2) *περί* M[a] ad 9, 9. — 3) *ἂν* D. — 4) *ἔχει δὲ κατὰ λέξιν οὕτως ἡ διάταξις* Nomoc. — 5) *τό* M. — 6) *τοῦ* om. M.

§ 2. *συμφέρει, ἀποπληρῶν*[1]. *ἡνίκα δε ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς τοιαύτης εὐσεβοῦς βουλήσεως τοῦ καταλειφθέντος ἀναλάβῃ τὰ χρήματα, εὐθέως πράξεσιν ὑπομνημάτων τὴν αὐτῶν ποσότητα καὶ τὸν καιρὸν ἐν ᾧ ταῦτα εἴληφε παρὰ τῷ ἄρχοντι τῆς ἐπαρχίας δημοσιεῦσαι*[2] *ὀφείλει. μετὰ ἑνὸς δὲ ἐνιαυτοῦ διάστημα καὶ τὸν ἀριθμὸν τῶν αἰχμαλώτων καὶ τὰ ὑπὲρ αὐτῶν δοθέντα τιμήματα φανεροῦσθαι κελεύομεν, ἵνα κατὰ πάντα ἐκπληρωθῶσιν αἱ εὐσεβεῖς τῶν τετελευτηκότων*[3] *βουλήσεις. οὕτω μέντοι οἱ εὐλαβέστατοι ἐπίσκοποι δωρεὰν καὶ ἄνευ τινὸς ζημίας τὰς εἰρημένας πράξεις τελειώσουσι, μήπως ἀνθρωπίνῃ προφάσει τὰ καταλειφθέντα χρήματα ταῖς τῶν δικαστῶν ζημίαις καταναλωθῶσιν.*

§ 3. *ἐὰν δὲ ὁ διαθέμενος τὸ τοιοῦτον λέγατον ἢ φιδικόμισσον μὴ σεσημειωμένῳ προσώπῳ καταλείψῃ ἐθνικὸς ὑπάρχων, καὶ ἐκ τῆς αὐτοῦ πατρίδος τις ἀνακύψῃ ἀμφιβολία, ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς πόλεως, ἐν ᾗ ὁ διαθέμενος ἐτελεύτησεν, ἐχέτω τοῦ λεγάτου ἢ τοῦ φιδικομίσσου τὴν ἀπαίτησιν, τὴν τοῦ τελευτήσαντος βούλησιν πᾶσι τρόποις ἀναπληρῶν.*

§ 4. *ἐὰν δὲ ἐν κώμῃ ἢ περιχώρῳ ὁ διαθέμενος τελευτήσῃ, ἐκείνης*[4] *τῆς πόλεως ὁ εὐλαβέστατος*
§ 5. *ἐπίσκοπος ἐχέτω τὴν εἴσπραξιν, ὑφ' ἣν ἡ κώμη ἢ ἡ περίχωρος εἶναι γνωρίζεται. καὶ*[5] *μὴ ἡ εὐσεβὴς τῶν τελευτησάντων βούλησις ἀναιδεῖ τῶν ἀπατεώνων περιεργίᾳ κρυβῇ, εἴ τι δὲ*[6] *ὑπὲρ τῆς τοιαύτης αἰτίας παρὰ τοῦ διαθεμένου καταλειφθῇ, πάντες οἱ τοῦτο οἱῳδήποτε τρόπῳ μαθόντες ἢ ἐν τῷ λαμπροτάτῳ ἄρχοντι τῆς ἐπαρχίας ἢ ἐν τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ τὴν γνῶσιν ἀναφέρειν ἐλευθέραν ἐχέτωσαν ἄδειαν καὶ μήτε τοῦ συκοφάντου τὸ ὄνομα καὶ τὴν ὑπόληψιν δειλιάσωσιν, ἡνίκα ἡ πίστις καὶ ἡ ἀρετὴ αὐτῶν ἐπαίνου μὴ ἐστέρηται, οἵτινες εὐσχημοσύνην ἅμα καὶ εὐσέβειαν*[7] *ἁρμόδιον καὶ φῶς εἰς τὰς δημοσίας ἀκοὰς εἰσήγαγον.*

Cod. 1, 3, 30 (31) = Nomoc. 1, 6 p. 464 (M) et 1, 23 p. 474 (M).

Ὁ μὲν σύντομος νοῦς τῆς διατάξεως μηδένα ἐπὶ χρήμασιν χειροτονεῖν ἢ χειροτονεῖσθαι ἐπίσκοπον, τὸν δὲ τοῦτο ποιοῦντα καὶ ἐκβάλλεσθαι τοῦ θρόνου καὶ ἀτιμοῦσθω διηνεκῶς.

Ἐπειδὴ δὲ τὸ ῥητὸν διὰ πολλοῦ πέφρασται καὶ δυσχερές ἐστιν, ἀνάγκην ἔσχον καὶ ἐν τῷ ἐδίκτῳ τῷ κατὰ πόδας αὐτῆς εἰπεῖν, ἔχον οὕτως.

***Εἴ** τις ἐν τῇ βασιλίδι πόλει ἢ ἐν ἄλλῃ οἱαδήποτε χειροτονεῖται ἐπίσκοπος, θεοῦ βουλήσει, καθαρᾷ διανοίᾳ καὶ γυμνῇ τῇ τῆς ἐπιλογῆς συνειδήσει χειροτονείσθω καὶ μηδεὶς ἐμπορευέσθω τὴν ἱερωσύνην ἀγοράζων αὐτὴν τιμήματι· σκοπείσθω γάρ, εἰ καὶ ἄξιος αὐτῆς ἐστιν ὁ λαμβάνων αὐτήν, μὴ πόσον δύναται παρασχεῖν χρυσίον*[8]. *ποῖος γὰρ ἂν εἴη τόπος ἀσφαλὴς ἢ ποία αἰτία παραιτητεά, ἐὰν οἱ προσκυνητοὶ ναοὶ τοῦ θεοῦ χρήμασι καταπωλῶνται; τίνα γὰρ ἢ καθαρότητι τρόπων ἢ τίνα ἠσφαλισμένον τῇ πίστει εὑρίσκοιμεν, ἐὰν ἡ τοῦ χρυσοῦ ἱερὰ λιμὸς εἰς τὰ ἐνδόμυχα τὰ προσκυνητὰ εἰσέλθῃ; τί γὰρ λοιπὸν ἀσφαλὲς εἶναι δύναται ἢ ἀμέριμνον, ἐὰν ἡ ἄφθορος ἱερωσύνη χρήμασι διαφθείρηται; παραχωροίτω*[9] *τούτοις ὁ βεβηλὸς τῆς ἀπληστείας πύργος, τῶν ἱερῶν ἀδύτων ἀπωθείσθω τὸ ἀσεβὲς ἀτόπημα. οὕτως ἐγκρατὴς καὶ πρᾶος τὸ ἦθος ἐν τοῖς ἡμετέροις χρόνοις ἐπιλεγέσθω ἐπίσκοπος, ἵνα πάντα τόπον ἐν ᾧ παραγίνεται τῇ τῆς οἰκείας ζωῆς ἀκεραιότητι καθαροποίῃ. μὴ τιμήματι, ἀλλὰ παρακλήσει ἐγκαταλεγέσθω ἐπίσκοπος· τοσοῦτον ἀφεστηκέναι*

---

1) *ἀποπληροῦν* M. — 2) *δημοσιᾶσαι* M. — 3) *τελευτηκότων* MD^a. — 4) *ἐκεῖνος* M^a vel M^{b}D. — 5) *ἵνα* excidisse videtur. — 6) *δέ* abundat. — 7) *ἅμα εὐσέβιον καί* M. — 8) *χρυσίον* M ad 1, 23. 24. — 9) *παραχωρείτω* M ad 1, 24.

κολακείας ὀφείλει, ἵνα ζητῆται[1] *ὡς ὀφείλων ἀναγκασθῆναι, παρακαλούμενος ἀναχωρείτω, προτρεπόμενος φευγέτω, μόνη ψηφιζέτω ἡ ἀνάγκη τῆς παραιτήσεως. δηλαδὴ γὰρ ἀνάξιός ἐστιν ἱερωσύνης, εἰ μὴ ἄκων χειροτονηθῇ. τοῦτον δέ, ὅστις τὴν ἁγίαν καὶ προσκυνητὴν τοῦ ἐπισκόπου καθέδραν παρενθήκῃ χρημάτων ὑπεισῆλθεν, ἢ ὁ λαβὼν ἐπὶ τὸ ἄλλον χειροτονῆσαι ἢ ἐπιλέξασθαι, κατὰ μίμησιν πουβλίκου ἐγκλήματος ὡσανεὶ βλαβείσης τῆς καθοσιώσεως κατηγορούμενον καὶ τοῦ βαθμοῦ τῆς ἱερωσύνης ἐκβάλλεσθαι καὶ μηδὲ μόνης ταύτης τῆς τιμῆς στερεῖσθαι, ἀλλὰ καὶ διηνεκεῖ ἀτιμίᾳ καταδικάζεσθαι ἀποφαινόμεθα*[2]. *ὅποτε γὰρ τὸ ἀτόπημα οὓς μολύνει ὁμοίους ποιεῖ, ὁμοίαν δεῖ καὶ τιμωρίαν αὐτοῖς ἐπακολουθεῖν.*

Cod. 1, 3, 32 (Thalelaei[3]) = Nomoc. 9, 1 p. 534 (MD).

*Πάντας τοὺς οἱουδήποτε ὄντας ἢ μετὰ ταῦτα ἐσομένους τῆς ὀρθοδόξου πίστεως
ἱερέας ἢ κληρικοὺς οἱουδήποτε βαθμοῦ ἢ μοναχοὺς ἐν ταῖς χρηματικαῖς αἰτίαις νομοτεθεῖ
ἡ διάταξις μηδαμῶς εἰς ἐξωτικὸν ἕλκεσθαι δικαστήριον ἐξ ἀποφάσεως οἱουδήποτε μείζονος
ἢ ἥττονος δικαστοῦ, μηδὲ τὴν ἐπαρχίαν ἢ τὸν τόπον ἐξιέναι ἐν ᾧ διάγει. μηδεὶς γὰρ
αὐτῶν, φησί, τὴν ἐκκλησίαν ἢ τὸ μοναστήριον αὐτοῦ καταλιμπάνειν ἀναγκαζέσθω διὰ τῆς
ἐλεεινῆς ἀνάγκης, ἀλλὰ παρὰ τοῖς ὀρδιναρίοις δικασταῖς, τουτέστι παρὰ τοῖς ἄρχουσι τῶν
ἐπαρχιῶν, ἐν οἷς διάγουσι τόποις καὶ ταῖς ἐκκλησιαστικαῖς ὑπηρεσίαις πειθαρχοῦσι, πάσας
τὰς τῶν ἐναγόντων αὐτοῖς ὑποδεχέσθωσαν ἐναγωγάς, ἵνα ἐν ταῖς ὥραις καὶ τοῖς χρόνοις, ἐν
οἷς σχολάζουσιν ἐκ τῆς θορυβώδους τῶν πραιτωρίων παραμονῆς, πρὸς τὰς ἑαυτῶν ἐκκλησίας
καὶ τὰ μοναστήρια ὑποστρέφοντες τὰς ἑαυτῶν ψυχὰς διὰ τῶν εὐχῶν θεραπεύσωσι*[4] *καὶ
εὐχερῶς ἐκ τοῦ πλησίον τοῖς ἁγίοις θυσιαστηρίοις δουλεύωσιν, ἐν ταῖς ἑαυτῶν οἰκίαις καὶ ταῖς*
§ 1. *ἑστίαις διατρίβοντες. ἐν τῇ βασιλίδι πόλει εὑρισκομένους ἐπισκόπους καὶ κληρικοὺς οἱουδήποτε
βαθμοῦ καὶ μοναχοὺς διὰ οἱανδήποτε αἰτίαν οὐ*[5] *βούλεται παρ' ἄλλῳ τινί ποτε ἐνάγεσθαι, εἰ
μὴ παρὰ τοῖς ἐπάρχοις τῶν πραιτωρίων. ἐκεῖ γὰρ καὶ τιμῆς ἀξιοῦνται καὶ συνηγόρων εὐπο-*
§ 2. *ροῦσι, ταῖς δικαιολογίαις ὑπερεκχεομένων. ὅταν δὲ ἐν ἐπαρχίᾳ ἐκ διαλαλιᾶς τῶν ἀρχόντων
ὑπομιμνήσκωνται ὀρθόδοξοι ἢ ἱερεῖς ἢ κληρικοὶ*[6] *ἢ μοναχοὶ ἐξ οἰκείων αἰτιῶν ἢ συναλ-
λαγμάτων, μηδένα ἄλλον ἐγγυητὴν ἀπαιτείσθωσαν, εἰ μὴ τὸν τῆς ἐκκλησίας ἔκδικον ἢ τὸν
οἰκονόμον, ἵνα μὴ ἄπληστος ὢν ὁ ἐκβιβαστὴς καὶ ἐξωτικὸν ἐγγυητὴν ἀπαιτῶν ἀναιτίως*
§ 3. *αὐτοὺς ζημιώσῃ. οἱ δὲ ἐν τῇ βασιλίδι πόλει ἐξ οἱασδήποτε ἐπαρχίας εὑρισκόμενοι ἱερεῖς
ἢ οἰκονόμοι ἢ ἐκκλησιέκδικοι ἢ οἱοιδήποτε κληρικοὶ παρὰ μόνοις μὲν ἐναγέσθωσαν τοῖς
ἐπάρχοις καὶ ἐν ταῖς ἰδίαις καὶ ἐν ταῖς ἐκκλησιαστικαῖς ὑποθέσεσιν, ἐγγυητὴν δὲ μηδένα
ἀπαιτείσθωσαν, ἀλλ' ἢ ἀλλήλους ἐγγυάσθωσαν ἢ ὁμολογίας ἐνυποθήκου καὶ νομίμης*
§ 4. *γινομένης καὶ ὑποθήκην τῶν ἰδίων αὐτῶν οὐσιῶν ἐχούσης, ἐν ταῖς ἐκκλησιαστικαῖς δίκαις
μόνοι οἱ οἰκονόμοι ἐναγέσθωσαν, οὓς ἂν ὁ ἐπίσκοπος προχειρίσεται· παρ' οὐδενὸς γὰρ
ἄλλου δεῖ τὸν οἰκονόμον καθίστασθαι, ἐναγόμενος δὲ τὸν τῆς ἐκκλησίας ἔκδικον παρεχέτω*
§ 4^a^. *ἐγγυητὴν καὶ μηδένα ἕτερον. ἐκβιβαστὴς δὲ μὴ ὢν ὀρθόδοξος κατὰ ἐπισκόπου ἢ κληρικοῦ
μὴ κομπλευέσθω*[7]. *ἀλλ' αὐτῷ*[8] *τὴν ἀρχὴν μηδὲ κομπλευέσθωσαν. ἐὰν δὲ στρατεύσηται
καὶ κομπλευθῇ κατὰ ὀρθοδόξου ἐπισκόπου ἢ κληρικοῦ οἱουδήποτε βαθμοῦ, κεφαλικῶς*

---

1) *ζητεῖται* M ad 1, 6. 24. — 2) *ἰδοῦ ξένον εἶδος ἀτιμίας* inserit M. — 3) *ἔχει δὲ κατὰ ῥῆμα οὕτως* Nomoc. — 4) *θεραπεύουσι* M. — 5) *οὐ* om. D[a]. — 6) *κληρικοὶ ἢ ἱερεῖς* M. — 7) *κομπευέσθω* MD. — 8) *αὐτό* M.

§ 5. *τιμωρείσθω*[1]. *ὀρθόδοξος δὲ ὢν ὁ ἐκβιβαστὴς ἀπὸ μὲν ἀποφάσεως ἥττονος δικαστοῦ*
ἐκβιβάζων ἥμισυ νόμισμα λαμβανέτω σπόρτουλον καὶ μηδὲν πλέον ἐλπιζέτω ἢ ἐπιχειρείτω
λαμβάνειν· ἐξ ἀποφάσεως δὲ τῶν ἐπάρχων ἐκβιβάζων ἐν ἐπαρχίαις δύο νομίσματα λαμ-
βανέτω, ἐν τῇ βασιλίδι δὲ ἐκβιβάζων ὁ ἐπαρχικὸς κληρικὸν ἓν μόνον νόμισμα λαμβανέτω
§ 6. *ἐπὶ οἱᾳδήποτε τινὶ*[2] *ποσότητι. μηδεμίαν δὲ ὕβριν ἢ ἐν λόγοις ἢ ἐν σώματι ἐπαγέτω*[3]
τοῖς κληρικοῖς ὁ ἐκβιβαστής· ἐὰν δὲ ἐπαγάγῃ, καὶ ἀποζωννύσθω τῆς στρατείας αὐτοῦ καὶ
§ 7. *δημευέσθω καὶ ἐσχάτῃ περιπιπτέτω τιμωρίᾳ. τὰ προνόμια πάντα τῶν ὀρθοδόξων ἐκκλησιῶν*
καὶ τῶν ξενοδοχείων καὶ τὰ γενικῶς καὶ τὰ ἰδικῶς αὐτοῖς δεδομένα διηνεκῶς φυλαττέσθω, καὶ
μηδεὶς ἢ τοὺς ἱερέας ἢ τοὺς κληρικοὺς τοὺς ἐν οἱῳδήποτε βαθμῷ ἢ μοναχοὺς ἢ τοὺς ἐν
τοῖς πτωχείοις ἢ ξενοδοχείοις ἀφωρισμένους ἐξτραορδιναρίαις λειτουργίαις ὑποβαλλέτω·
τὰς γὰρ τοιαύτας ἐπιζημίους λειτουργίας εἰ ἄλλοις πολλοῖς παρεχωροῦμεν[4], *πολλῷ δικαιό-*
§ 8. *τερόν ἐστι τοῖς μακαρίοις τούτοις προσώποις παραχωρεῖν αὐτάς. ἵνα δὲ μήτις ἐκ τῆς*
οἰκείας κερδάνῃ προπετείας καὶ ἵνα τῶν ἀναισχύντων συκοφαντῶν ἡ τόλμα χαλινωθῇ, θεσπίζομεν τὸν ἢ παρὰ τοῖς ἐπάρχοις ἢ παρὰ ἄρχοντι ἐπαρχίας αἰτιασάμενον ἐπίσκοπον ἢ κληρικὸν ἢ μοναχὸν ἢ τοὺς λοιποὺς, ὧν ἐμνημόνευσε, καὶ ἀποδειχθέντα συκοφάντην πάντα καταβάλλειν τὰ ἀναλώματα, ὅσα ἐν ὅλῃ τῇ δίκῃ ἐδαπανήθη, ἵνα κἂν τούτῳ τῷ[5] *φόβῳ πάσης κατ' αὐτῶν συκοφαντίας ἀπέχοιντο.*

Σὺ δὲ ἴσθι, ὅτι παρὰ τῆς οθ', πγ' καὶ ρκγ' νεαρᾶς κάλλιον ἐτυπώθη τὰ τῆς διατάξεως, καὶ μηδὲ ἐκεῖνό σοι ἐναντιωθῇ τῷ τὴν κε' διάταξιν λέγειν μὴ ἀπαιτεῖσθαι τὸν οἰκονόμον ἐγγύας· ἐκεῖ γὰρ περὶ πραγμάτων ἰδίων ἐναγόμενον αὐτὸν θεματίζει, ἐνταῦθα δὲ περὶ ἐκκλησιαστικῶν.

Cod. 1, 3, 36 pr. (Thalelaei?) = Nomoc. 11, 3 p. 595 (MDA).

Οἱ ἐναπόγραφοι γεωργοὶ κατὰ τὴν παλαιὰν διάταξιν μὴ ἄλλως χειροτονείσθωσαν κληρικοί, εἰ μὴ κατὰ γνώμην καὶ ἐπιτροπὴν τοῦ δεσπότου τοῦ κτήματος, οὗτινός εἰσιν ἐναπόγραφοι· εἰ δὲ μὴ οὕτως[6] *χειροτονηθείησαν, μηδεμίαν ἰσχὺν ἐχέτω ἡ χειροτονία, ἀλλὰ τοῖς τῶν κτημάτων δεσπόταις τοῖς μὴ συναινέσασιν ἐπὶ τῇ χειροτονίᾳ*[7] *ἐξέστω πάντα πράττειν ἐπ' αὐτοῖς, ὅσα καὶ ἐπὶ τοῖς ἄλλοις ἐναπογράφοις ἔξεστι πράττειν. τὰ δὲ αὐτὰ κρατείτω καὶ ἐπὶ τῶν ἐναπογράφων τῶν γενομένων μοναχῶν· καὶ οὗτοι γὰρ εἰ μὴ κατὰ γνώμην τοῦ δεσπότου τῆς κώμης ἐμόνασαν, ἔξεστι τῷ δεσπότῃ*[8] *τοῦ κτήματος ἀφέλκειν αὐτοὺς ἐκ*[9] *τοῦ μοναστηρίου.*

Cod. 1, 3, 36 § 1 (Thalelaei?) = Nomoc. 1, 36 p. 480 (MD).

Δοῦλοι δὲ ἀπὸ παντὸς βαθμοῦ κληρωτικοῦ κωλύσθωσαν, τουτέστι μηδὲ συναινούντων τῶν δεσποτῶν χειροτονείσθωσαν κληρικοί· εἰ γὰρ ὅλως ὁ δεσπότης τοῦ δούλου βούλεται αὐτὸν χειροτονηθῆναι, ἐλευθερούτω πρότερον αὐτὸν καὶ τότε χειροτονείσθω.

Cod. 1, 3, 37 (Thalelaei?) = Nomoc. 11, 3 p. 595 (MDA).

Οἱ δοῦλοι μοναχοὶ ἀκωλύτως γίνονται, εἰδότων τῶν δεσποτῶν καὶ ὅτι συναινοῦντες τοῖς δούλοις μοναχοῖς γινομένοις τῆς ἐπ' αὐτοῖς δεσποτείας γυμνοῦνται. μέχρι δὲ τοσούτου γυμνοῦνται[10], *ἕως ὅτε τοῖς μοναστηρίοις ἐπιμένουσιν*[11] *οἱ δοῦλοι· εἰ γὰρ δοῦλος γνώμῃ*

---

1) *τιμωρείσθωσαν* D. — 2) *οἱᾳδήτινί ποτε* M. — 3) *ἐπαγαγέτω* M. — 4) *παραχωροῦμεν* M. — 5) *τῷ* om. libri. — 6) *οὕτω* D^b^A. — 7) *ἀλλὰ τοῖς . . . χειροτονίᾳ* om. M. — 8) *δεσπότῃ* om. M. — 9) *ἀπό* A. — 10) *γυμνοῦται* D. — 11) *ἐμμένωσιν* A.

τοῦ δεσπότου μονάσας ἐγκαταλείψει τὸν μοναχικὸν βίον καὶ εἰς ἄλλην μετέλθοι πολιτείαν, ἐπαναλαμβανέτω τὴν κατ' αὐτοῦ ἐξουσίαν ὁ δεσπότης καὶ τῷ ζυγῷ τῆς δουλείας αὐτὸν ὑποβαλλέτω.

Cod. 1, 3, 40 (Thalelaei?) = Nomoc. 8, 13 (D).

Τῇ ἀνακεφαλαιουμένῃ νομοθεσίᾳ οὐ μόνον τοῖς τυχοῦσι δικασταῖς τῶν ἐπαρχιῶν, ἀλλὰ καὶ τοῖς ἐκδίκοις τῶν ἐκκλησιῶν τῆσδε τῆς λαμπρᾶς πόλεως, ὅπερ αἰσχρότατον ἐμφανίζεσθαι τὰς ἐσχάτας τῶν τελευτησάντων βουλήσεις τῷ γένει ἐνέσκηψε, παραινοῦντες θεσπίζομεν, μὴ τοῦ πράγματος καθάψοιντο, ὅπερ οὐδενὶ παντελῶς τῶν ἁπάντων κατὰ τὰς τῶν διατάξεων κελεύσεις ἤπερ τῷ τῶν κήνσων μαγίστρῳ ἁρμόζει. ἀπεικὸς γὰρ καὶ τοῖς κληρικοῖς ἐστι μενοῦνγε καὶ ἐπονείδιστον, ἐὰν ἐμπείρους ἑαυτοὺς βουληθῶσι τῶν διατάξεων εἶναι τῶν ἔξω. ὑποβάλλεται τοῖς προπετέσι τούτου τοῦ θεσπίσματος ποινὴ ν' λιτρῶν χρυσίου.

Cod. 1, 3, 48 (Thalelaei?) = Nomoc. 2, 1 p. 494 (MD).

Εἴ τις ἂν πρὸς τὸ ἐκκλῖναι τὸν Φαλκίδιον νόμον βουληθείη πᾶσαν τὴν ἰδίαν οὐσίαν
ὑπὲρ ἀπολυτρώσεως αἰχμαλώτων καταλεῖψαι καὶ αὐτοὺς τοὺς αἰχμαλώτους γράψῃ κληρο-
νόμους, μὴ δοκείτω οἱονεὶ ἀδήλοις προσώποις τοῖς ἐνστάτοις κληρονόμοις ἀπολιπὼν
ἀφανίζειν[1] τὸ ἴδιον δικαίωμα· θεσπίζομεν γὰρ τὴν τοιαύτην διάταξιν τῆς εὐσεβοῦς
§ 1. γνώμης ἰσχύειν καὶ μὴ εἶναι ἀποβεβλημένην. ἀλλὰ καὶ ἐὰν πτωχούς τινας γράψῃ κληρο-
νόμους καὶ οὐχ εὑρεθῇ ὡρισμένον πτωχεῖον ἢ ὡρισμένης ἐκκλησίας πτωχοί, περὶ ὧν ὁ
διαθέμενος ἐμνήσθη, ἀλλ' οὕτως ἀδήλῳ προσηγορίᾳ πτωχοὶ ὀνομασθῶσι κληρονόμοι ἔνστατοι,
§ 2. ὁμοίῳ τρόπῳ καὶ τὴν τοιαύτην διάταξιν ἰσχύειν. καὶ εἰ μὲν αἰχμαλώτους γράψῃ κληρο-
νόμους, τῆς πόλεως, ἐν ᾗ ὁ διαθέμενος τὴν κατοικίαν ἔθαλπε καὶ διάγειν ἐγνωρίζετο, ὁ
ἐπίσκοπος καὶ ὁ οἰκονόμος[2] τὴν κληρονομίαν ἀναλαμβανέτωσαν καὶ ἐκ παντὸς τρόπου
ὑπὲρ ἀπολυτρώσεως αἰχμαλώτων προχωρείτω ἡ[3] κληρονομία, εἴτε διὰ τῆς ἐτησίου προσ-
όδου εἴτε κατὰ πρᾶσιν κινητῶν ἢ αὐτοκινήτων πραγμάτων οὖσα καὶ μηδενὶ παντελῶς ἐκ
τούτου κέρδους[4] ἢ τῷ ἐπισκόπῳ ἢ τῷ οἰκονόμῳ ἢ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ περιλιμπανομένου[5].
εἰ γὰρ διὰ τοῦτο ἀπὸ τοῦ ἰδίου κληρονόμου ἀπέστη, ἵνα μὴ ὁ λόγος τοῦ Φαλκιδίου εἰσαχθῇ,
πῶς παραδεκτέον τοῦτο, ὅπερ ἐν τῷ ἱερῷ ἦλθεν, ἵνα διὰ τὸν Φαλκίδιον ἢ ἄλλην πρό-
§ 3. φασιν ἐλλαττωθῇ; ὅπου δὲ ἀδήλως ἐγράφησαν κληρονόμοι πτωχοί, ἐκεῖ τὸν ξενῶνα τῆς
αὐτῆς[6] πόλεως τὴν κληρονομίαν λαμβάνειν καὶ διὰ τοῦ ξενοδόχου εἰς τοὺς ἀρρώστους
γίνεσθαι τῆς οὐσίας τὴν διανομήν, καθάπερ ἐν τοῖς αἰχμαλώτοις διεταξάμεθα, ἢ διὰ τῆς
προσόδου τῶν ἐτησίων καρπῶν ἢ κατὰ πρᾶσιν τῶν πραγμάτων ἢ[7] κινητῶν ἢ
αὐτοκινήτων, ἵνα ἐκ τούτων τῶν[8] πραγμάτων ἀκίνητα ἀγορασθῶσι καὶ ἡ ἐνιαυσιαία
διατροφὴ τοῖς ἀρρώστοις προέλθοι. τίς γὰρ πτωχότερός ἐστιν ἐκείνων τῶν ἀνθρώπων,
οἵτινες καὶ ἐν ἀπορίᾳ κεκράτηνται καὶ εἰς τὸν ξενῶνα κατάκεινται καὶ τοῖς ἰδίοις σώμασιν
§ 4. ἀσθενοῦντες τὴν ἀναγκαίαν τροφὴν ἑαυτοῖς οὐ δύνανται περιποιεῖν; ἄδεια δὲ παντὶ
τρόπῳ διδόσθω[9] καὶ ἐν τῷ προτέρῳ καὶ ἐν τῷ δευτέρῳ εἴδει[10] καὶ τὰς ἀγωγὰς κινεῖν καὶ
τὰ χρέα ἀπαιτεῖν, ἵνα εἰς τοὺς ἀρρώστους καὶ τοὺς αἰχμαλώτους καταναλωθῶσιν· εἰ γὰρ

---

1) ἀφανίζει M. — 2) κληρονόμος libri. — 3) προχωρείτωσαν (om. ἡ) D. — 4) ἐκ τοῦ κέρδους D, ἐκ τούτου κέρδος M. — 5) περιλαμπανομένου M. — 6) αὐτῆς om. M. — 7) ἢ om. D. — 8) τῶν om. libri. — 9) δεδόσθω libri. — 10) ἤδη libri. —

αὐτοῖς τὸ τῶν κληρονόμων δίκαιον καὶ ὄνομα δεδώκαμεν, ἄνευ μέντοι τοῦ κέρδους
τοῦ Φαλκιδίου νόμου, ἀναγκαῖόν ἐστιν αὐτοὺς[1] καὶ τὰ χρέα εἰσπράττειν καὶ τοῖς
§ 5. δανεισταῖς ἀποκρίνεσθαι. εἰ δὲ πλείονες ἐν τῇ πόλει ξενῶνες ἢ πτωχεῖά εἰσιν, μὴ
ἄδηλος δοκείτω τῶν χρημάτων ἡ δωρεά· τηνικαῦτα γὰρ ἐκείνῳ τῷ ξενῶνι καὶ τῷ πτωχείῳ,
ὅστις πτωχότερος εἶναι γνωρίζεται, τὰ αὐτὰ πράγματα ἢ τὰ χρήματα προσκυρούσθω.
τούτων δηλονότι ἐρευνωμένων παρὰ τοῦ εὐλαβεστάτου τῶν τόπων ἐπισκόπου[2] καὶ τῶν
§ 6. ὑπ᾽ αὐτὸν καταλεγομένων κληρικῶν. εἰ δὲ μηδεὶς ξενὼν ἐν τῇ πόλει εὑρεθῇ, τηνικαῦτα
κατὰ τὸν περὶ τῶν αἰχμαλώτων νόμον ὁ τῶν καιρῶν οἰκονόμος τῆς ἁγίας ἐκκλησίας ἢ ὁ
ἐπίσκοπος τὴν κληρονομίαν λαμβανέτω καὶ ἐκτὸς τοῦ Φαλκιδίου λόγου τοῖς ἐν τῇ πόλει
πενεστέροις οὖσιν ἢ παντελῶς προσαιτοῦσιν ἢ ἄλλας τινὰς ἀπορίας ὑφισταμένοις[3] τὰ
§ 7. αὐτὰ χρήματα διανεμέτω. καὶ ταῦτα μὲν πάντα χώραν ἐχέτω ἃ θεσπίζομεν, ὅτε οὐχ
ὡρισμένοι ξενῶνες ἢ ὡρισμένα πτωχεῖα ἢ ὡρισμέναι ἐκκλησίαι παρὰ τοῦ διαθεμένου
ὠνομάσθησαν, ἀλλ᾽ ἄδηλός ἐστιν ἡ αὐτοῦ ἔννοια. εἰ δὲ εἰς πρόσωπον ὡρισμένον ἢ εἰς
ὡρισμένον εὐαγέστατον οἶκον ἀπέβλεψεν, αὐτῷ μόνῳ τὴν κληρονομίαν ἢ τὸ λεγάτον
§ 8. ἁρμόζειν θεσπίζομεν, μηδ᾽ ἐν τούτῳ τῷ μέρει Φαλκιδίου εἰσαγομένου. ἐν πᾶσι δὲ
τούτοις τοῖς θέμασιν, οἱ τῶν ἱερῶν πραγμάτων ὑπηρέται τὰς οὐρανίους ἀγανακτήσεις
προσδοκάτωσαν, ἐὰν οἱονδήποτε κέρδος ἐκ τῆς τοιαύτης διοικήσεως ἑαυτοῖς προσπορί-
σωσιν, ἢ ἐὰν τοῦτο τολμηθῆναι παρ᾽ ἄλλων ἀνάσχωνται καὶ οὐ βαρυτάτῃ ποινῇ καὶ
ὀλεθρίῳ ὅπερ προπετῶς γέγονε σπεύσωσι[4] διορθώσασθαι.

Cod. 1, 3, 50 (Thalelaei?[5]) = Nomoc. 9, 1 p. 537 (MD).

Εἴ τις ἐν τῷ συγγράφειν συμβόλαια ἑαυτὸν ὁμολογήσει μὴ κεχρῆσθαι παραγραφῇ[6] διὰ τὸ τῆς ἱερωσύνης προνόμιον[7]; θεσπίζομεν μὴ ἐξεῖναι αὐτῷ τὰ ἴδια σύμφωνα παρερχομένῳ καὶ συναλλάττοντι ἀπαιτεῖν[8], κατὰ τὸν κανόνα τοῦ ἀρχαίου νόμου τὸν λέγοντα πάντας ἄδειαν ἔχειν τοῦ τῶν ὑπὲρ ἑαυτῶν εἰσαχθέντων καταφρονεῖν. ὃν γενικὸν νόμον ἐν πᾶσι θέμασι κατέχεσθαι θεσπίζομεν τοῖς μήτε ἀποφάσει δικαστικῇ μήτε συναινέσει φιλικῇ διαλυθεῖσιν.

Cod. 1, 3, 51 (Thalelaei?) = Nomoc. 8, 13 p. 529 (MD).

Γενικῶς θεσπίζομεν πάντας τοὺς θεοφιλεστάτους ἐπισκόπους, ἔτι δὲ πρεσβυτέρους
καὶ[9] διακόνους καὶ ὑποδιακόνους καὶ ἐξαιρέτως τοὺς μοναχούς, κἂν μὴ ὦσιν ἱερεῖς, ἀλει-
τουργησίαν αὐτῷ τῷ νόμῳ πάντας ἔχειν ἐπιτροπῆς εἴτε ἐκ διαθήκης εἴτε νομίμου εἴτε
παρ᾽ ἄρχοντος δοθείσης· καὶ οὐ μόνον ἐπιτροπῆς εἶναι ἀπείρους αὐτούς, ἀλλὰ καὶ κουρα-
τωρείας, οὐ μόνον ἐφήβων καὶ ἀνήβων, ἀλλὰ καὶ μεμηνότων καὶ ἀλάλων καὶ κωφῶν καὶ
ἄλλων προσώπων, οἷς ἐπίτροποι καὶ κουράτωρες παρὰ τῶν παλαιῶν νόμων δίδονται.
§ 1. αὐτοὺς μέντοι τοὺς κληρικοὺς καὶ μοναχοὺς τὴν τοιαύτην ἔχειν φιλοτιμίαν θεσπίζομεν,
οἵτινες εἰς τὰς[10] ἁγίας ἐκκλησίας ἢ μοναστήρια[11] παρεδρεύουσι μὴ ῥεμβόμενοι μήτε περὶ
τὰς θείας λειτουργίας ῥαθυμοῦντες, ἡνίκα διὰ τοῦτο ταύτην τὴν εὐεργεσίαν αὐτοῖς[12] συγ-
χωροῦμεν, ἵνα τὰ ἄλλα πάντα καταλιπόντες ταῖς τοῦ παντοδυνάμου θεοῦ λειτουργίαις[13]

---

1) αὐτοῖς M. — 2) ἐπισκόπων D. — 3) ὑφισταμένους M. — 4) σπεύσουσι M. — 5) ἔχει δὲ τὰ τῆς διατάξεως ἐν τῷ πλάτει οὕτως Nomoc. — 6) παράγραφος M secundum Pitra. — 7) προοίμιον M secundum Pitra. — 8) παρερχομένῳ συναλλάττοντα ἀπατᾶν scribendum uidetur. — 9) καί om. D. — 10) τάς om. M. — 11) μοναστηρίοις M. — 12) αὐτοῖς τήν εὐεργεσίαν M. — 13) λειτουργίαν M. —

§ 2. *προσκολλῶνται. καὶ τοῦτο οὐ μόνον ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ ἢ ἐν ταύτῃ τῇ*[1] *βασιλίδι πόλει, ἀλλ' ἐν πάσῃ τῇ γῇ, ἐν ᾗ ἂν τὸ τοῦ Χριστοῦ ὄνομα σεβάζεται, κατέχειν θεσπίζομεν.*

Cod. 1, 4, 2 (Thalelaei?) = Nomoc. 9, 1 p. 537 (MD).

Ἐὰν κληρικὸς πρὸ τελείας ἀποφάσεως χάριν ματαίας ὑπερθέσεως πρὸς ἐκκλήτου βοήθειαν ἔλθῃ, πρόστιμον ν' λίτρας ἀργυρίου, ὅπερ κατὰ τοῦ οὕτως ἐκκαλεσαμένου γενικῶς θεσπίζει ἡ διάταξις, ἀναγκαζέσθω ἀποτιννύναι. τοῦτο δὲ οὐ τῷ φίσκῳ[2] *τῷ ἡμετέρῳ βουλόμεθα προσελθεῖν, ἀλλὰ πτωχοῖς πιστῶς ἐπιμερίζεσθαι.*

Cod. 1, 4, 4 (Thalelaei?) = Nomoc. 11, 12 p. 598 (MD).

Αἱ μιμάδες καὶ αἱ θυμελικαί, αἵτινες ἐν θεάτρῳ ἐκ τοῦ ἰδίου σώματος πόρον ποιοῦσι, δημοσίως τῷ σχήματι τῶν παρθένων τῶν τῷ θεῷ ἀφιερωμένων μὴ κεχρήσθωσαν[3].

Cod. 1, 4, 7 (Thalelaei *κατὰ πόδας*[4]) = Nomoc. 9, 1 p. 537 (MD).

Ἐάν τινες ἐκ συναινέσεως παρὰ τοῦ θείου νόμου τοῦ[5] *ἐπισκόπου δικάζεσθαι βουληθῶσι, μὴ κωλυέσθωσαν, ἀλλ' ἀποπειραθῶσιν ἐκείνου, ἐν πολιτικῇ μόνῃ πραγματείᾳ*[5a],
§ 1. *δικαστικῷ ἔθει προκαθιζομένου ἑκουσίως τῆς κρίσεως. ἥτις αὐτοῖς οὐ δυνήσεται ἀποστῆναι, (οὐδὲ γὰρ ὀφείλει) ὅπερ τοῖς προρρηθεῖσι δικαζομένοις δικαστήριον προῆλθε καὶ ἐκ προαιρέσεως καὶ συναινέσεως συνέστη*[6].

Cod. 1, 4, 8 (Thalelaei?) = Nomoc. 9, 1 p. 537 (MD).

Ἡ τοῦ ἐπισκόπου κρίσις ἔστω δεκτὴ πᾶσιν, οἵτινες ἀκούειν παρὰ τῶν ἱερέων ἕλωνται, καὶ τὴν ὑπ' ἐκείνου κρίσιν τετιμημένην εἶναι, δι' ἣν ταῖς ὑμετέραις ἀναφέρειν ἀναγκαῖόν ἐστι ἐξουσίαις, καθ' ὧν οὐκ ἔξεστιν ἐκκαλεῖσθαι, κατὰ τῶν ἀρχόντων τὰ ὀφφίκια κρατούντων, ἵνα μὴ εἴη ἀνίσχυρος ἡ τοῦ ἐπισκόπου κρίσις, καὶ τὸ πέρας ὅπερ τοῖς δικαζομένοις ἀπονέμεται[7].

Cod. 1, 4, 10 = Nomoc. 3, 2 p. 502 (V) et 12, 2 p. 602 (D[8]).

Οἱ μαθηματικοὶ τὰς οἰκείας βίβλους ἐπ' ὄψεσι τῶν ἐπισκόπων καιέτωσαν, οὕτωτε τῇ ὀρθοδόξῳ θρησκείᾳ παραδιδόσθωσαν μηδεμίαν[9] *ἐπανόδου πρὸς τὴν οἰκείαν πλάνην*
§ 1. *ἐλπίδα φυλάττοντες. μὴ ἀνεχόμενοι δὲ καὶ τῆς Ῥώμης αὐτῆς καὶ τῆς ἐν ἑκάστῃ πόλει διαγωγῆς ἐκβληθήσονται. εἰ γὰρ μετὰ ταῦτα*[10] *ἢ ἐν πόλει φανῶσιν ἢ ἐν ταῖς πόλεσι*[11] *ἑαυτῶν χρώμενοι διδασκαλίαις, ἐξοριζέσθωσαν.*

Cod. 1, 4, 13 (Thalelaei[12]) = Nomoc. 9, 1 p. 537 (MD).

Εἴ τις τὸν οἰκονόμον τῶν ἁγιωτάτων ἐκκλησιῶν ὑπὸ τὸν ὁσιώτατον ἐπίσκοπον Κωνσταντινουπόλεως ἢ περὶ ἐκκλησιαστικῆς δίκης ἢ περὶ ἰδίας αὐτοῦ τοῦ οἰκονόμου βούλεται πρὸς τὸ δικαστήριον ἑλκύσαι ἢ τὸν οἱονδήποτε κληρικόν, παρὰ τῷ μνημονευθέντι μακαρίῳ ἐπισκόπῳ τὴν δίκην λεγέτω. οὗτος γὰρ δικάζων καὶ πίστιν καθαρωτάτην φυλάξει τοῖς δικαζομένοις, ἱερέως ἅμα καὶ δικαστοῦ τρόπον ἐνδυόμενος. οὕτως μέντοι,

---

1) *τῇ* om. libri. — 2) *φίσιν* D. — 3) *τῶν παρθένων τῶν τῷ θε* et *χρήσθωσαν* perierunt in M. — 4) *τὰ τῆς διατάξεως ῥήματα* Nomoc. — 5) *τοῦ* del. Zachariae. — 5a) *χρηματικῇ ὑποθέσει* supra versum ad haec verba adnotat D. — 6) *ἥτις ... συνέστη*] 'quod his obesse non poterit nec debebit, quos ad praedicti cognitoris examen conventos potius afuisse quam sponte venisse constiterit' Codex. — 7) *κατὰ τῶν ... ἀπονέμεται*] 'per iudicum quoque officia, ne sit cassa episcopalis cognitio, definitioni executio tribuatur' Codex. — 8) extat hoc loco etiam in MV, sed de neutrius libri lectione constat. — 9) *μηδεμίας* V. — 10) pro *τῆς ἐν ἑκάστῃ ... ταῦτα* in V est *τῆς ἑκάστης πόλεως εἰ.* — 11) *πόλεσι* om. D. — 12) *ἔχει δὲ οὕτω ἡ διάταξις* Nomoc.

εἰ βούλεται ὁ ἐνάγων παρὰ τῷ ἐπισκόπῳ τὴν δίκην εἰπεῖν· εἰ γὰρ ἀπαρέσκεται τῇ τοῦ ἐπισκόπου κρίσει, οὐδένα ἄκοντα ἢ ἐπὶ ἐκκλησιαστικῇ δίκῃ εἴτε ἐπὶ τῇ κατὰ κληρικῶν ἁρμοζούσῃ χρὴ ἕλκεσθαι πρὸς τὴν τοῦ ἐπισκόπου ἀκρόασιν.

Cod. 1, 4, 34 § 3. 4 = Nomoc. 9, 27 p. 559 (Vatic. 1981).

Ἐὰν πρεσβύτερος ἢ διάκονος ἢ ὑποδιάκονος ἢ ἀναγνώστης καὶ πᾶς ἄλλος οἱοσδήποτε εὐλαβοῦς σχήματος καθεστὼς φανείη κυβεύων ἢ κοινωνῶν τοῖς κυβεύουσιν ἢ θεωρῶν ἐμπαθῶς τὴν τοῦ ἱπποδρομίου θέαν ἢ συνθήκας παίζειν δι' ἑαυτοῦ ἢ δι' ἑτέρου τινὸς ἢ κυνήγιον ἢ θέατρα ἢ εἰς οἱανδήποτε τοῦ θεωρῆσαι χάριν παραγενέσθαι, καὶ προσαγγελθείη τῷ ἐπισκόπῳ, ἐπιμελῶς ζητείσθω ἡ τούτου κατηγορία, μαρτυρίου δὴ[1] παραγινομένου καὶ τοῦ πράγματος σὺν ἀκριβείᾳ κατεξεταζομένου, προκειμένων τῶν ἁγίων λογίων. καὶ ἐὰν σαφῶς ἀποδειχθείη, κωλυέσθω μὲν τῆς ἱερατικῆς λειτουργίας ἢ πάσης εὐλαβοῦς ὑπουργίας ἧς μετέχει ὁ ταῦτα ἡμαρτηκὼς καὶ γινέσθω ὑπὸ κανονικὸν ἐπιτίμιον ἐπὶ ῥητόν τινα χρόνον· καὶ εἰ μὲν νηστείᾳ καὶ εὐχαῖς καὶ κλαυθμῷ φανείη καταγνοὺς ἑαυτόν, συγχωρείσθω ἑαυτοῦ ἁμάρτημα· εἰ δὲ μετὰ τὸ ἐπιτίμιον μὴ ἀνανήψας πρὸς βελτίονα μεταθείη βίον, τότε καθαιρείσθω καὶ παραδιδόσθω τῇ βουλῇ τῆς ἰδίας πόλεως.

Cod. 1, 5, 2 = Nomoc. 12, 2 p. 600 (MDV).

Πᾶσαι αἱ ἀπηγορευμέναι τοῖς νόμοις καὶ ταῖς διατάξεσιν αἱρέσεις διηνεκῶς ἠρεμείτωσαν καὶ μηδεὶς τὰ βέβηλα διδασκέτω ἢ μανθανέτω μηδὲ ἐπισκόπων[1a] αἱρετικῶν, ἀλλὰ μηδὲ ὑπηρέτας χειροτονείτω χειροτονίαν οὐκ ἔχων, μηδὲ κατὰ ἀρχόντων γνώμην. αἱρετικὸς δὲ πᾶς, ὃς καὶ μικρῷ[2] ὑποδείγματι παρὰ τὸ τῆς καθολικῆς ἐκκλησίας δόγμα ἢ τῆς εὐθείας ἐφάνη τραπείς[3].

Cod. 1, 5, 3 = Nomoc. 12, 2 p. 602 (MDV).

Παντὸς ἐκπιπτέτωσαν οἱ αἱρετικοὶ τόπου, εἴτε ἐκκλησίαν αὐτὸν[4] καλοῦσιν, εἴτε
§ 1. *ἕτερόν τι· εἰ δὲ ἰδιωτικός ἐστι, καὶ ἐκδικείτω τοῦτον ἡ ἐκκλησία. ἀλλὰ μηδὲ λιτὰς ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ ἢ ἑτέρας ἐπιτελείτωσαν[5] συνόδους. τῆς μὲν τοῦ ἐπάρχου τῆς πόλεως τάξεως ρ' χρυσίου λίτρας, τῆς δὲ τῶν ἐν ταῖς ἐπαρχίαις ἀρχόντων ν' χρυσίου λίτρας καταβαλλούσης, εἰ[6] παρὰ τὰ κελευσθέντα τι συγχωρήσαιεν.*

Cod. 1, 5, 4 = Nomoc. 6, 3 p. 517 (V) et 12, 2 p. 602 (MDV).

Τοὺς Μανιχαίους ἢ Δονατίστας μηδὲν κοινὸν ἀπὸ νόμου ἢ ἔθους τοῖς λοιποῖς ἔχειν ἀνθρώποις ἐπιτρέπομεν, ἀλλὰ καὶ δημοσίῳ κατεχέσθωσαν ἐγκλήματι καὶ δημευέσθωσαν[7] καὶ μηδὲν ἀπὸ δωρεᾶς ἢ τελευταίας βουλήσεως ἢ λαμβανέτωσαν ἢ αὐτοὶ διδότωσαν ἢ ὅλως τι συνάλλαγμα τιθέσθωσαν. ζητείσθω δὲ[8] καὶ μετὰ τελευτὴν τὰ κατ' αὐτῶν, καὶ μηδὲ οἱ παῖδες αὐτῶν[9] διαδεχέσθωσαν τῆς πατρῴας μὴ ἀφιστάμενοι[10] πλάνης· τῆς αὐτῆς τῷ ὑποδεχομένῳ[11] τούτους τιμωρίας ἐπικειμένης. ἀνεύθυνοι δὲ οἱ[12] τούτων ἔστωσαν οἰκέται τῇ ὀρθῇ[13] προσδραμόντες θρησκείᾳ.

Cod. 1, 5, 5 = Nomoc. 6, 3 p. 517 (V) et 12, 2 p. 602 (MDV).

Οἱ εἰρημένοι ἐν τῷ ῥητῷ πάντες αἱρετικοὶ μηδένα τόπον εἰς προσευχὴν ἢ εἰς[14]

---

1) *δέ* liber. — 1a) *ἐπίσκοπος* scrib. — 2) *σμίκρῷ* D. — 3) *παρατραπεὶς* V. — 4) *αὐτῶν τοῦτον* V, deficit M. — 5) *ἐπι- τελείτωσε* D. — 6) *εἰ* om. D. — 7) *δημευέσθω* V ad 6, 3. — 8) *δέ* om. V ad 6, 3. — 9) *αὐτούς* V ad 6, 3. — 10) *ἀφισταμένης* V ad 6, 3. — 11) *αὐτῆς ὑποδεχόμενον* V ad 6, 3. — 12) *ἀνεύθυνοι καί* V ad 6, 3. — 13) *ὀρθοδόξῳ* V ad 6, 3. — 14) *εἰς* om. V ad 6, 3.

σύνοδον ἐχέτωσαν, τῶν Μανιχαίων ἐξαιρέτως καὶ πάσης ἐκβαλλομένων πόλεως. κρατείτωσαν δὲ καὶ οἱ διαφόρως κατ᾿ αὐτῶν εἰσενεχθέντες νόμοι καὶ μηδὲν ἐῤῥώσθω τῶν ἢ [1] δωρουμένων ἢ καταλιμπανομένων τοῖς τόποις οὓς ἐκκλησίας τολμῶσι καλεῖν. ἀλλὰ καὶ ἐκδικείτω τούτους ἡ ὀρθόδοξος ἐκκλησία, εἰ μὴ παρὰ γνώμην τοῦ δεσπότου ὁ φροντίζων τοῦ τόπου συνεχώρησε· τότε γὰρ, εἰ μὲν εὐγενής ἐστιν ὁ φροντιστής, δέκα [2] χρυσίου λίτρας καταθήσει ἐξοριζόμενος, εἰ δὲ οἰκέτης, μαστίζεται καὶ ἐξορίζεται. πανέσθω δὲ καὶ τοῦ στρατιώτης εἶναι ὁ αἱρετικός. μηδεμιᾶς παρὰ τὰ διηγορευμένα κρατούσης ἀντιγραφῆς.

Cod. 1, 5, 6 = Nomoc. 3, 2 p. 502 (V) et 12, 2 p. 602 (MDV).

Μηδεὶς τοὺς Νεστοριανοὺς καλείτω Χριστιανούς· ἀλλ᾿ ὥσπερ οἱ Ἀρειανοὶ Πορφυριανοὶ λέγονται, οὕτω καὶ οὗτοι [3] Σιμωνιανοὶ λεγέσθωσαν. καὶ μὴ ἐχέτω τις ἢ ἀναγινωσκέτω ἢ μεταγραφέτω τὰ κατὰ τῶν ὀρθῶν δογμάτων αὐτοῦ συγγράμματα, ἀλλὰ καὶ [4] ἐπιμελῶς ζητήσας καιέτω. φερέσθω δὲ αὐτοῦ μηδὲ ὅλως μνήμη ἐν οἷς περὶ δογμάτων γίνεται λόγος. μηδὲ δεχέσθω τις τοιούτους ἐν οἱῳδήποτε τόπῳ φανερῶς ἢ λαθραίως· τῶν τὰ εἰρημένα παραβαινόντων δημοσιευομένων [5].

Cod. 1, 5, 8 = Nomoc. 3, 2 p. 502 (V) et 12, 2 p. 602 (MD).

Οἱ Ἀπολλιναρισταὶ μὴ ταῖς ἁγίαις τέσσαρσι συνόδοις πειθόμενοι καὶ ὅσοι κατὰ τῆς ἁγίας τῆς ἐν [6] Χαλκηδόνι συνόδου ἢ λεγειν τι ἢ διδάσκειν ἢ συγγράμματα κεκτῆσθαι τολμῶσι, ταῖς εἰρημέναις τῇ παρούσῃ [7] διατάξει τιμωρίαις ὑποβαλλέσθωσαν.

Cod. 1, 5, 12 (Thalelaei?) = Nomoc. 12, 2 p. 602 (MDV).

Οἱ αἱρετικοὶ Μανιχαῖοι μὲν ὄντες ἀποτεμνέσθωσαν ὅλως ἐν τόπῳ φανέντες. οἱ δὲ ἄλλῃ ὁποιᾳδήποτε κρατούμενοι πλάνῃ μὴ στρατευέσθωσαν [8] ἢ [8a] πολιτικὴν ἢ ἔνοπλον στρατείαν, ἀλλὰ μηδὲ ἀξιωματικοὶ γινέσθωσαν ἢ ταξεῶται [9], πλὴν εἰ μὴ κορταλῖνοι [10]. τούτῳ γὰρ καὶ ἐξ ἀνάγκης ὑποκείσθωσαν τῷ βάρει γένους ὄντες τοιούτου. κωλυέσθωσαν δὲ καὶ τοῦ πατέρες πόλεων ἢ ἔκδικοι γίνεσθαι ἢ τοῖς συνηγόροις συντετάχθαι ἢ ὅλως τι μετιέναι πολιτικόν, εἰδότες ὡς, εἴ τινος πειραθεῖεν τῶν προαπηγορευμένων τυχεῖν [11], οὔτε κατὰ σκόπον πράξουσι καὶ πρόστιμον καταθήσουσι λίτρας κ΄. [12] πρὸς τούτοις τῶν ἀπογραφομένων αὐτοὺς ἐν εἰδήσει καταβαλλόντων ν΄ τῷ κόμητι τῶν πριβάτων. ὑπέξελε τῶν εἰρημένων τοὺς Γότθους. γονέων δὲ διαφόρου πίστεως ὄντων καὶ θρησκείας ἐκείνου ἡ γνώμη [13] μᾶλλον κρατείτω τοῦ τὴν ὀρθόδοξον ἐπ᾿ αὐτοῖς αἱρουμένου πίστιν, κἂν εἴη πατὴρ ὁ ἀντιλέγων, μὴ ἐντεῦθεν [14] ἀγανακτῶν τῆς ἀναγκαίας αὐτοὺς στερείτω τροφῆς ἢ τῶν ἄλλων ἀναγκαίων δαπανημάτων. ἀλλὰ καὶ προῖκα διδοὺς ἢ πρὸ γάμου δωρεὰν ὀρθοδόξοις αὐτοὺς συνοικιζέτω προσώποις, μηδεμίαν ἑτέραν ὀργῆς κατ᾿ αὐτῶν προβαλλόμενος πρόφασιν. ἔστω δὲ ἐν φροντίδι τὰ εἰρημένα τῶν τε ἐν Κωνσταντινουπόλει καὶ ἐν ταῖς ἐπαρχίαις ἀρχόντων [15] τῶν ἁπανταχοῦ γῆς ἐπισκόπων, ἀναφορᾷ περὶ τῆς ἐκ παραβάσεως κεχρημένων ποινῆς τῶν ῥαθυμούντων περὶ τῶν [16] τῆς ὀρθοδόξου πίστεως διορισθέντων.

Cod. 1, 5, 15 (Thalelaei?) = Nomoc. 12, 2 p. 602 (MDV).

Οἱ Μανιχαῖοι παῖδας μὲν ἔχοντες ὀρθοδόξους ἐπ᾿ αὐτοὺς καὶ μόνους ἐξ ἀδιαθέτου

---

1) ἢ om. libri ad 12, 2. — 2) δέκα om. V ad 6, 3. — 3) αὐτοί V ad 3, 2. — 4) καί om. V ad 3, 2. — 5) δημευομένων D. — 6) ἁγίας τῆς om. V. — 7) παρελθούσῃ D. — 8) πολιτευέσθωσαν V. — 8a) sic Zachariae, μή libri. — 9) ταξιῶται libri. — 10) εὐτελεῖς MV et supra versum D. — 11) τυχεῖν τῶν προαπηγορευμένων V, deficit M. — 12) κ΄ καί D. — 13) ἡ γνώμη om. D, fortasse etiam M. — 14) δέ inserit Zachariae. — 15) καί ins. Zachariae. — 16) τῶν om. libri, suppl. Zachariae.

παραπεμπέτωσαν, μηδενὶ [1] ἑτέρῳ ζῶντες ἢ τελευτῶντες ἐκποιείτωσαν παντελῶς, τῆς αὐτῶν οὐσίας εἰς τὸν δημόσιον περιελευσομένης λόγον.

Cod. 1, 5, 16 (Thalelaei?) = Nomoc. 12, 2 p. 602 (MDV).

Ὁ τὰ Μανιχαίων καταλιπὼν καὶ τῆς εὐσεβοῦς τῶν Χριστιανῶν θρησκείας γενόμενος μηκέτι τῆς παλαιᾶς ἀνάσχοιτο πλάνης ἢ ὅλως τὴν τυχοῦσαν πρὸς τὸν οὕτω πλανώμενον ποιείτω ὁμιλίαν [1a], ἀλλὰ παραχρῆμα τὸν τοιοῦτον παραδιδότω τοῖς ἄρχουσιν ἢ μηνυέτω, τὰς ἐσχάτας ποινὰς ὑφορώμενος, ἃς κἀκεῖνοι ὑφίστανται, εἰ μὴ τοῦτο ποιήσοι. φροντιζέσθωσαν [2] δὲ οἱ ἐν ἀξίαις ἢ στρατείαις ἢ συστήμασιν ὄντες, ὡς ἂν μηδεὶς ἐν αὐτοῖς λανθάνῃ τοιοῦτος· ἀλλὰ φανερούσθωσαν [3] παρ' αὐτῶν τὰς προσηκούσας ἐξ ἀπειθείας ἀναμενόντων ποινάς. [4] πρὸς τούτοις πάντα τὰ [5] Μανιχαίων καιέσθω [6] βιβλία καὶ μηδεὶς αὐτὰ τὴν οἱανδήποτε προβαλλόμενος πρόφασιν ἐχέτω, ἁρμοδίαν [7] καὶ οὗτος ποινὴν εὐλαβοίμενος.

Cod. 1, 5, 20 (Thalelaei?) = Nomoc. 12, 2 p. 602 (MDV) [8].

Πάντες μὲν γενικῶς οἱ αἱρετικοὶ μήτε παρασυνάξεις μήτε παραβαπτίσματα ποιεῖν μήτε τῆς προσκυνητῆς ὅλως ἅπτεσθαι κοινωνίας τολμάτωσαν ἢ τοῖς τῶν ὅρων προνομίοις, ἐφ' οἷς ἔχουσιν ἐργαστήριον [9], κεχρήσθωσαν, τὰς τῶν ἐναντιουμένων τοῖς νόμοις ποινὰς ὑφορώμενοι τοῦ χορηγοῦντος τὸν οἶκον ταῖς προειρημέναις τιμωρίαις ὑποκειμένου. Μοντανισταὶ δὲ ἐξαιρέτως μηδένα τῶν καλουμένων παρ' αὐτοῖς πατριαρχῶν ἢ κοινωνῶν ἢ ἐπισκόπων ἢ πρεσβυτέρων ἢ διακόνων ἐντὸς ἐχέτωσαν Κωνσταντινουπόλεως. κωλυέσθωσαν δὲ ἐντὸς πραγματεύεσθαι τῶν ὅρων αὐτῆς καὶ τὰ ἀσελγῆ συσσίτια ἢ τὰ ἀσεβῆ συμπόσια ποιεῖν ἢ ἀνδράποδα ἐμπορεύεσθαι διὰ τοὺς ὑποκειμένους ἐφ' ἑκάστῳ λογισμούς. μὴ λαμβανέτωσαν δὲ προφάσει τῶν λεγομένων ἀξιωματικῶν τὰ παρὰ τῶν μεγίστων δικαστηρίων καὶ τῆς ἐκκλησίας ἐξ ἔθους διδόμενα. εἰ δέ τις αὐτοῖς ἄλογον ἀπονέμοι προστασίαν, ι' λίτρας χρυσίου καταβαλλέτω [10], τοῦ ἐπάρχου τῆς πόλεως καὶ τῶν καθ' ἔθνος [11] ἀρχόντων καὶ τῶν πειθομένων τάξεων τὸ παραπλήσιον πρόστιμον ὑφορωμένων, εἰ τῶν διατεταγμένων ἔν τινι ῥᾳθυμήσουσιν.

Cod. 1, 5, 22 (Thalelaei?) = Nomoc. 12, 2 p. 603 (MDV).

Ἡ κωλύουσα τοὺς αἱρετικοὺς διάταξις [12] ἀπὸ τελευταίας τι λαμβάνειν βουλήσεως χώραν ἐχέτω καὶ ἐπὶ στρατιώτου καταλιμπάνοντος, κἂν ὡς ὁ κοινὸς ἀπαιτεῖ [13] νόμος διέθετο.

Cod. 1, 6, 1 (Thalelaei?) = Nomoc. 4, 13 p. 513 (MD).

Εἴ τις ἐπίσκοπος τὸν ἤδη βαπτισθέντα δεύτερον ἀναβαπτίζει, ἀνάξιος ἔστω τῆς ἱερωσύνης καὶ ἐκβαλλέσθω αὐτῆς· κατάκριτοι γὰρ ἔστωσαν οὗτοι, οἵτινες τὰς τῶν ἁγίων ἀποστόλων διδασκαλίας ἀπατῶντες [14] τὸ τῶν Χριστιανῶν ὄνομα προσποιοῦνται.

---

